# ΑΚΟΛΟΥΘΙΑ
## ΜΕΓΑΛΟΥ ΠΑΡΑΚΛΗΤΙΚΟΥ ΚΑΝΟΝΟΣ
## Εἰς τὴν πανοικτίρμονα καὶ πολυεύσπλαγχνον Ἁγίαν Τριάδα.

**Ὁ Ἱερεύς: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν κ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.**

Ὁ Λαός: Ἀμήν. (Μὴ ὑπάρχοντος Ἱερέως, ὁ Μονα ἢ ἡ Μοναχή, ἢ ὁ Λαϊκὸς ἀρχίζει: Δι' εὐχῶν τῶν Ἁγ Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ ὁ Θεὸς ἡμῶν, ἐ ησον ἡμᾶς. Ἀμήν). Καὶ εὐθύς:

### Ὁ ΡΜΒʹ Ψαλμός:

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου,

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν, εὐλογημένος ὁ ἐρ μενος ἐν ὀνόματι Κυρίου. (Τετράκις)

**Εἶτα τὰ τροπάρια ταῦτα.**

**Ἦχος δ΄. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.**

Οἱ ἁμαρτήμασι πολλοῖς βαρυνθέντες, καὶ τὰς καρδίας καὶ ψυχὰς μολυνθέντες, ἐν συντριβῇ καρδίας Σοὶ προσπίπτομεν πιστῶς, ἄναρχε, ἀόρατε, ἐπουράνιε Πάτερ, σύμμορφε, συνάναρχε, συναΐδιε Λόγε, καὶ θεῖον Πνεῦμα, λύτρωσαι ἡμᾶς, ἐκ πάσης νόσου ψυχῆς τε καὶ σώματος.

**Δόξα. Ὅμοιον.**

Τοὺς εἰς τὸ ὄνομα τὸ Σὸν βαπτισθέντας, Τριὰς Ἁγία καὶ τανῦν εὑρεθέντας, εἰς Ἀντιχρίστου χρόνους καὶ ἡμέρας πονηράς, στήριξον, ἑδραίωσον ἐν τῇ Σῇ Ἐκκλησίᾳ, Δέσποτα φιλάνθρωπε, καὶ ἐν ὥρᾳ ἀνάγκης, τὴν Σὴν ἐξ ὕψους δὸς ἡμῖν ἰσχύν, καὶ τῶν ἀνόμων βουλὰς διασκέδασον.

**Καὶ νῦν. Ὅμοιον.**

Ὁ τῆς Τριάδος ἁγιώτατος οἶκος, ἡ τῆς Θεότητος σκηνὴ παναγία, ἐν ᾗ Πατὴρ ηὐδόκησεν, ὁ πάντων Θεός, Πνεῦμα δὲ τὸ Ἅγιον ἐπεσκίασεν ὄντως, καὶ Υἱός ἐσκήνωσε, προελθὼν ἀπορρήτως, Σὺ Θεοτόκε πάντων ἡ ἐλπίς· τοὺς Σὲ ὑμνοῦντας κινδύνων διάσωζε.

**Ὁ Ν΄. Ψαλμός**

Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός Σου,

**Ὁ Κανών, οὗ ἡ ἀκροστιχίς:**

«Ἄδεται τῇ Ἁγίᾳ Τριάδι ὕμνος».

**(Ἐκτὸς τῆς ἀκροστιχίδος αἱ δύο ᾠδαὶ στ΄ καὶ η΄).**

**Ὠδὴ α΄. Ἦχος πλ. δ΄. Ὁ Εἱρμός.**

»Ἁρματηλάτην Φαραὼ ἐβύθισε, τερατουργοῦσα
»τέ, Μωσαϊκὴ ῥάβδος, σταυροτύπως πλήξα
»καὶ διελοῦσα θάλασσαν· Ἰσραὴλ δὲ φυγά
»πεζὸν ὁδίτην διέσωσεν, ᾆσμα τῷ Θεῷ ἀναμέλποντα

**Τροπάρια**

**Ἁγία Τριὰς ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς.**

Ἀρχὴ τῶν ὅλων ὁρατῶν ἁπάντων τε, καὶ ἀοράτ
Θεός, ὁ Πατήρ, ὁ Λόγος, Πνεῦμα τὸ Πανάγι
Μονὰς ἡ τρισυπόστατος, συγκατάβηθι, δέξ
τὴν ἱκεσίαν τῶν δούλων Σου, ἣν χαρμονικῶς Σοὶ π
σάγομεν.

**Ἁγία Τριὰς ὁ Θεὸς ἐλέησον καὶ σῶσον ἡμᾶς.**

Διὰ παντὸς οἱ νοεροὶ διάκοσμοι, οἱ τῶν Ἀγγέλ
χοροί, Σοὶ Τριὰς Ἁγία, νοεροῖς τοῖς χείλεσι,
ὕμνον ἀναπέμπουσι, μεθ᾽ ὧν δέξαι καὶ ταύ
τὴν ἱκεσίαν ὡς εὔσπλαγχνος, καὶ τὸν ἱλασμὸν ἡ
δώρησαι.

**Δόξα.**

Ἐν τῇ Τριάδι ἡ Μονὰς γνωρίζεται, ἐν τῇ Μον
Τριάς, μεριστὴ προσώποις, ἑνικὴ Θεότητι, ἀπ
σιτος, ἀνέκφραστος, προσιτὴ δι᾽ ἀγάπην, μία π
τῆς χρηστότητος, πᾶσι χεομένη τοῖς κτίσμασι.

**Καὶ νῦν.**

Τὸ ἀπ' αἰώνων ὁρισθὲν μυστήριον, τὸ ἀκατάληπτον, τό Θεὸν ἀνθρώποις συναναστραφήσεσθαι, βροτοῖς ὁμοιωθήσεσθαι, συλλαβοῦσα Παρθένε, τοῦτον Θεάνθρωπον ἔτεκες, Ὃν ὑπὲρ ἡμῶν καθικέτευε.

Ὠδὴ γ'. Ὁ Εἱρμός.

»Ὁ στερεώσας κατ' ἀρχάς, τοὺς οὐρανοὺς ἐν συνέ-
»σει, καὶ τὴν γῆν ἐπὶ ὑδάτων ἑδράσας, ἐν τῇ πέ-
»τρᾳ με Χριστέ, τῶν ἐντολῶν σου στήριξον· ὅτι
»οὐκ ἔστι πλήν σου, ἅγιος μόνε φιλάνθρωπε.

**Τροπάρια.**

Ἀκαταλήπτως ὁ Υἱός, πρὸ τοῦ τὸν κόσμον παρεῖναι, ἀχωρίστως τῷ Πατρὶ συνυπῆρχε, καὶ τὸ Πνεῦμα τῷ Πατρὶ καὶ τῷ Υἱῷ ἀχώριστον, τρία μὲν τοῖς προσώποις, ἀλλ' ἡνωμένα Θεότητι.

Ἱερωτάταις ἐν ᾠδαῖς, Σὲ τὴν ἀόρατον Φύσιν, εὐλαβῶς ὑμνολογοῦντες βοῶμεν· Παντουργέ, Παντοποιέ, τὴν κτίσιν κατοικτείρισον, καὶ τοῖς λατρεύουσί Σοι, νοῦν καὶ καρδίαν χαρίτωσον.

Τῶν Προφητῶν Σου ὁ χορός, τῶν Ἀποστόλων ὁ δῆμος, καὶ ἁπάντων τῶν Ἁγίων αἱ τάξεις, ὑπερούσιε Τριάς, ἀπαύστως Σὲ δοξάζουσι, καὶ τοῖς ἐν γῇ αἰτοῦνται, τούς οἰκτιρμούς Σου φιλάνθρωπε.

**Θεοτοκίον**

Ἡ πλατυτέρα οὐρανῶν, ἡ Παναγία Παρθένο
τὸν ἀχώρητον ἐν πάσῃ τῇ κτίσει, ἐν γαστ
παρθενικῶς, συνέλαβε καὶ ἔτεκε, καὶ Θεοτόκ
μόνη, γνωρίζεται καὶ δοξάζεται.

Διάσωσον, ἀπὸ κινδύνων ἡμᾶς ὦ Τριὰς Ἁγία, το
ἐν ὀρθοδόξῳ πίστει Σοὶ λατρεύοντας, καὶ ε
σεβῶς ἀεὶ Σε προσκυνοῦντας.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ Πανύμνητε Θεοτόκε, ἐ
τὴν ἡμῶν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴ
σαι τῆς ψυχῆς ἡμῶν τὸ ἄλγος.

**Κάθισμα. Ἦχος β'. Εὐσπλαγχνίας.**

Εὐσπλαγχνίας τὸ πέλαγος ἡμῖν ὑφαπλώσας, ὑπ
δεξαι ἡμᾶς Ἐλεῆμον. Βλέψον εἰς λαὸν τὸν Σὲ δ
ξάζοντα, δέξαι τὰς ᾠδὰς τῶν αἰτουμένων Σ
Τριὰς Μονὰς ἄναρχε· εἰς Σὲ γὰρ ἐλπίζομεν τὸν τ
ὅλων Θεόν, τῶν πταισμάτων δοῦναι τὴν συγχώρησιν.

Ὠδὴ δ'. Ὁ Εἱρμός.

»Σύ μου ἰσχύς, Κύριε, σύ μου καὶ δύναμις, σὺ Θε
»μου, σύ μου ἀγαλλίαμα, ὁ πατρικοὺς κόλπους
»λιπών, καὶ τὴν ἡμετέραν πτωχείαν ἐπισκεψάμ
»νος· διὸ σὺν τῷ Προφήτῃ, Ἀββακούμ σοι κραυγάζ
»τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

## Τροπάρια.

Αδυνατεῖ, δόξαν καὶ αἶνον ἐπάξιον, σοὶ προσάγειν, πᾶσα ἡ ἀσώματος, καὶ ὑλικὴ φύσις ὡς ἐκ Σοῦ, ὕπαρξιν λαβοῦσα, δυναμουμένη καὶ στήκουσα, Τριὰς Ὑπεραγία· πλὴν τὴν δέησιν ταύτην, ἱκετεύομεν Εὔσπλαγχνε, πρόσδεξαι.

Γῆν ἐν ἀρχῇ, καὶ οὐρανὸν ἐστερέωσας, ἐν ἰσχύϊ τῇ παντοδυνάμῳ σου, ὁ Ὢν Πατὴρ σὺν τῷ παντουργῷ, Λόγῳ καὶ τῷ Θείῳ, ὁμοδυνάμῳ τε Πνεύματι, τὴν θάλασσαν καὶ πάντα, τὰ ἐν τούτοις· διό σου, τοὺς πολλοὺς οἰκτιρμοὺς πᾶσι δώρησαι.

Ινα τῆς Σῆς, δόξης καὶ θείας λαμπρότητος, καὶ ἑτέρα γένηται συμμέτοχος, φύσις κτιστή, πάνσοφε Θεέ, ἄνθρωπον ἐκ δύο, ψυχῆς καὶ σώματος ἔπλασας, ὡς ὄντως μέγα κόσμον, ἐν σμικρῷ καὶ βοῶντα· τῇ δυνάμει σου δόξα φιλάνθρωπε.

Οὐκ ἦν ποτέ, ὅτε οὐκ ἦν, ἀνακράζομεν, ὁ Υἱὸς καὶ Λόγος· ἐν ἀρχῇ γὰρ ἦν, ἅμα Πατὴρ ἅμα καὶ Υἱός, ἅμα καὶ τὸ Πνεῦμα, συναϊδίως ἐκλάμπουσα, Ἑνὰς ἡ τρισσουμένη, καὶ Τριὰς ἑνουμένη. Ἀκατάληπτε Κύριε, δόξα σοι.

### Θεοτοκίον

Αλλην σκηνήν, καθαρωτάτην γινώσκομεν, τὴν ἁγίαν Πάναγνε γαστέρα σου, φιλοξενήσασαν ἀληθῶς, τῆς σεπτῆς Τριάδος, τὸν ἕνα καὶ σωματώσασαν, ἀγνῶν σου ἐξ αἱμάτων· Αὐτὸν οὖν ἐκδυσι
πει, ὑπὲρ πάντων ἡμῶν τῶν ὑμνούντων σε.

### Ὠδὴ ε΄. Ὁ Εἱρμός.

»Ινα τί με ἀπώσω, ἀπὸ τοῦ προσώπου σου, τὸ φι
»τὸ ἄδυτον, καὶ ἐκάλυψέ με, τὸ ἀλλότριον σκότ
»τὸν δείλαιον; ἀλλ'ἐπίστρεψόν με, καὶ πρὸς τὸ φι
»τῶν ἐντολῶν σου, τὰς ὁδούς μου κατεύθυνον δέομα

### Τροπάρια

Τὸν ἀόρατον φύσει, Ὃν οὐδεὶς ἀνθρώπων ἑώρ
κε πώποτε, ἐν τῷ Ἰορδάνῃ, τὸν Χριστὸν Ἰησοῦ
ἑωράκαμεν, καὶ φωνὴν Πατρόθεν, ἠκούσαμεν κ
θεῖον Πνεῦμα, τῷ Χριστῷ ἐπελθὸν ὡσεὶ πέλεια.

Ρητορεύουσαι γλῶσσαι, αἱ τῶν ἁλιέων ἀθρόον
δείχθησαν, τοῦ πυρὸς ἐν εἴδει, ἐπελθόντος α
τοῖς θείου Πνεύματος, δι' Υἱοῦ πεμφθέντος, ἐκ τ
Πατρός· διὸ βοῶμεν· Ἀγαθὲ τὰς ψυχὰς ἡμῶν φώτισο

Ιλασμὸν ἡμῖν πᾶσι, τοῖς ἐν ὀρθοδόξῳ σε πίστει δ
ξάζουσι, καὶ λατρεύουσί σοι, Παναγία Τριὰς Ὑπ
ράγαθε καὶ ψυχῆς ὑγείαν, δίδου καί σώματος τ
ρῶσιν, καὶ πταισμάτων πολλῶν τὴν συγχώρησιν.

Ανεικάστῳ ἰσχύϊ, ἅπαντα τὸν κόσμον ἐποίησ
Κύριε, καὶ μυρίους ἄλλους, δυνατόν σοι εἰ ἤθελ
τοῦ ποιήσασθαι· πάντα δυνατά σοι, παντοπο

Τριὰς Ἁγία, πάντας οὖν ὡς οἰκτίρμων ἐλέησον.

### Θεοτοκίον

Ἀκατάληπτον ὄντως· ἡ τοῦ Λόγου ὑπόστασις πῦρ τὸ ἀπρόσιτον, ἐχωρήθη ὅλη, ἐν γαστρὶ ἀναλλοίωτος μείνασα, φύσει ἑνωθεῖσα, τῇ ἀνθρωπίνῃ παραδόξως, καὶ ἡμεῖς δι' αὐτῆς ἐθεώθημεν.

### Ὠδὴ στ'. Ὁ Εἱρμός.

»Τὴν δέησιν ἐκχεῶ πρὸς Κύριον, καὶ αὐτῷ ἀπαγ-
» γελῶ μου τὰς θλίψεις· ὅτι κακῶν ἡ ψυχή μου ἐ-
» πλήσθη, καὶ ἡ ζωή μου τῷ Ἅδῃ προσήγγισε·
»Καὶ δέομαι ὡς Ἰωνᾶς· ἐκ φθορᾶς ὁ Θεός με ἀνάγαγε.

### Τροπάρια

Προάναρχε, Ἀγαθέ, Ἀόρατε, Ὑπερούσιε Θεὲ Παντοκράτορ, Πατὴρ ὁ Νοῦς, ἡ πηγὴ καὶ αἰτία, τῶν ἐκφυέντων σου Λόγου καὶ Πνεύματος, σπλαγχνίσθητι καὶ δὸς ἡμῖν, τὰ πολλὰ καὶ ἀρχαῖα ἐλέη σου.

Θεάνθρωπε, ἐλεῆμον, εὔσπλαγχνε, Πανοικτίρμον τοῦ Πατρὸς Υἱὲ καὶ Λόγε, τοῦ διὰ Σοῦ, ὁρατὸν πάντα κόσμον, καὶ τὸν ἀόρατον Πνεύματι πήξαντος. Ἀλλ' ὦ Παντάναξ Ἰησοῦ! Σῶσον δὴ ὁ Σωτὴρ τὰς ψυχὰς ἡμῶν.

Παράκλητε, Ἀγαθέ, Πανάγιε, ὁμοούσιε Πατρὶ καὶ τῷ Λόγῳ· εἰρηνικόν, καὶ οὐράνιον Πνεῦμα, πηγὴ σοφίας, τὸ φῶς, ἡ Ζωὴ ἡμῶν, ἐλθὲ καὶ σκήνωσον ἐν ἡμῖν, καὶ παντὸς μολυσμοῦ ἀποκάθαρον.

### Θεοτοκίον.

Παντάνασσα, Παναγία Δέσποινα, Παναμώμητ
Ἁγνὴ Θεομῆτορ, τὸ ἐκλεκτόν, πρὸ αἰώνων ἁπά
των, τοῦ Θεοῦ Λόγου ἁγνὸν οἰκητήριον, καὶ Το
του Μήτηρ ἀληθής, καὶ ἡμῶν τῶν πιστῶν ἡ βοήθεια.

Ἰάσωσον, ἀπὸ κινδύνων ἡμᾶς, ὦ Τριὰς Ἁγία, τοὶ
ἐν ὀρθοδόξῳ πίστει σοὶ λατρεύοντας, καὶ ε
σεβῶς ἀεὶ σε προσκυνοῦντας.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον ἀνερμηνεύτως, ἐ
ἐσχάτων τῶν ἡμερῶν, τεκοῦσα, δυσώπησον, ὡς
χουσα μητρικὴν παρρησίαν.

### Αἴτησις, τὸ Κύριε ἐλέησον, εἶτα τὸ Κοντάκιον.

### Ἦχος β'. Προστασία τῶν Χριστιανῶν.

Ἐκκλησία τῶν Χριστιανῶν ἡ Ὀρθόδοξος, ἀνυμν
σε Παναγία Τριὰς ὁ Θεὸς ἡμῶν· μὴ παρίδῃς ἁ
μαρτωλοὺς οἰκέτας σου ἡμᾶς, ἀλλὰ δώρησαι πί
σιν ἡμῖν, τὴν σὴν βοήθειαν ταχύ, τοῖς πιστῶς σ
κραυγάζουσι· ῥῦσαι πάσης μανίας, καὶ κακίας τῶ
ἀντιχρίστων, καὶ τὴν πίστιν ἡμῶν πρὸς Σέ, διατήρη
σον ἀκλόνητον.

### Προκείμενον. Ἦχος πλ. α'.

Τῷ Λόγῳ Κυρίου οἱ οὐρανοὶ ἐστερεώθησαν, καὶ τ

Πνεύματι τοῦ στόματος Αὐτοῦ, πᾶσα ἡ δύναμις αὐτῶν. (Δίς).

Στίχ. Οἱ οὐρανοὶ διηγοῦνται δόξαν Θεοῦ, ποίησιν δὲ χειρῶν Αὐτοῦ, ἀναγγέλλει τὸ στερέωμα.

**ΕΥΑΓΓΕΛΙΟΝ ἐκ τοῦ κατὰ Ματθαῖον.**

Τῷ καιρῷ ἐκείνῳ, οἱ ἕνδεκα μαθηταὶ ἐπορεύθησαν εἰς τὴν Γαλιλαίαν, εἰς τὸ ὄρος οὗ ἐτάξατο αὐτοῖς ὁ Ἰησοῦς. Καὶ ἰδόντες αὐτὸν προσεκύνησαν αὐτῷ, οἱ δὲ ἐδίστασαν. Καὶ προσελθὼν ὁ Ἰησοῦς ἐλάλησεν αὐτοῖς λέγων. ἐδόθη μοι πᾶσα ἐξουσία ἐν οὐρανῷ καὶ ἐπὶ γῆς. Πορευθέντες οὖν μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν· καὶ ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμί πάσας τὰς ἡμέρας, ἕως τῆς συντελείας τοῦ αἰῶνος· ἀμήν.

**Δόξα. Ἦχος β'.**

Πάτερ, Λόγε, Πνεῦμα, Τριὰς ἡ ἐν Μονάδι, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Καὶ νῦν, ὁ αὐτός.**

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

**Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.**

Δεῦτε προσκυνήσωμεν, τὴν Παναγίαν Τριάδα, καὶ καθικετεύσωμεν, οἱ ταῖς παραβάσεσι βαρυνόμενοι, ὦ Θεὲ εὔσπλαγχνε! μόνε ἀνεξίκακε, τὰς ψυχὰς ἡμῶν οἰκτείρησον, ὡς ἀναμάρτητος, πταίσματά τε πάντα συγχώρησον· Σὺ γὰρ εἶ Ποιμὴν ἡμῶν πρόβατα ἡμεῖς ὀρειάλωτα· μὴ παραχωρήσῃς, πεσεῖν ἡμᾶς εἰς χεῖρας τοῦ ἐχθροῦ, ἀλλ' ὡς φιλάνθρωπος δὸς ἡμῖν, τὸ μέγα σου ἔλεος.

**Σῶσον ὁ Θεὸς τὸν λαόν σου... Τό, Κύριε ἐλέησον ιβ'.**

**Ὠδὴ ζ'. Ὁ Εἱρμός.**

»Παῖδες Ἑβραίων ἐν καμίνῳ, κατεπάτησαν τὴν »φλόγα θαρσαλέως, καὶ εἰς δρόσον τὸ πῦρ, μετέ»βαλον βοῶντες· Εὐλογητὸς εἶ Κύριε, ὁ Θεὸς εἰς »τοὺς αἰῶνας.

**Τροπάρια**

Δύο πηγὰς δυσσεβοφρόνως, τῆς Θεότητος δοξάζουσι Λατῖνοι, ἀλλ' ἡμεῖς εὐσεβῶς, μίαν πηγὴν καὶ ῥίζαν, τοῦ Λόγου καὶ τοῦ Πνεύματος, τὸν Πατέρα προσκυνοῦμεν.

Ἴσοι Θεότητι καὶ δόξῃ, τῷ Πατρὶ εἰσὶν ὁ Λόγος καὶ τὸ Πνεῦμα, ἓν ἀπρόσιτον φῶς, καὶ ἄβυσσος ἐλέους. Ὦ, Κύριε ἐλέησον! τοὺς πιστῶς σε προσκυνοῦντας.

Ὕμνον καὶ δέησιν προσδέχου, Τριὰς Ἄναρχε καὶ τὴν «Δοξολογίαν»* ἣν ἐν πόθῳ πολλῷ προσέφερον καὶ δίδου, ῥανίδα τῆς Σῆς χάριτος, καὶ πταισμάτων μου τὴν λῦσιν.

* (Ἐννοεῖται ἐδῶ ἡ προσφορὰ τῶν 24ων Οἴκων εἰς τὴν Ἁγίαν Τριάδα).

## Θεοτοκίον

Μέγα καινὸν εἶδεν ἡ κτίσις, ἐν τῇ Κώμῃ Βηθλεέμ τὸν ξένον τόκον· Θεὸς τὸ τεχθέν, ἡ Μήτηρ δὲ Παρθένος, Ἣν ἀνυμνοῦντες λέγομεν· χαῖρε Κεχαριτωμένη.

## Ὠδὴ η'. Ὁ Εἱρμός.

»Τὸν ἐν ὄρει ἁγίῳ δοξασθέντα, καὶ ἐν βάτῳ πυρὶ »τῷ τῆς Ἀειπαρθένου, τῷ Μωϋσεῖ μυστήριον »γνωρίσαντα, Κύριον ὑμνεῖτε, καὶ ὑπερυψοῦτε, εἰς »πάντας τοὺς αἰῶνας.

## Τροπάρια

Παλαιὸν ἡμερῶν καὶ ἐπὶ θρόνου, Δανιὴλ θεωρεῖ, καὶ τὸν Υἱὸν ἀνθρώπου, τὸ θεῖον Πνεῦμα ὡς αὐτὸν ἐνίσχυσε. Δέσποτα παράσχου, δύναμιν σοῖς δούλοις, ὑμνεῖν σε εἰς αἰῶνας.

Πᾶσαν γαῖαν χαρίτων τῆς Τριάδος, πληρουμένην ὁρᾷ ὁ ζηλωτὴς Ἠλίας, τρεῖς εἰς αὐτὴν τελῶν ἐκχύσεις ὕδατος· θείου ζήλου πλῆσον, Κύριε τοὺς πίστει, ἀεὶ σὲ εὐλογοῦντας.

Στίχ. Εὐλογοῦμεν Πατέρα,Υἱόν, καὶ Ἅγιον Πνεῦμα, τὸν Κύριον.

Ἠσαΐας ἐν θρόνῳ ἐπηρμένῳ, τὸν Θεὸν Σαβαὼθ τοῖς ὀφθαλμοῖς ἑώρα, καὶ ἐν πολλῷ τῷ δέει Ἐξαπτέρυγα, ἅγιος βοῶντα, Ἅγιος Ἅγιος, ὁ Θεὸς εἰς τοὺς αἰῶνας.



## Καὶ νῦν.

Μωϋσῆς ἐν τῇ βάτῳ κατενόει, τοῦ σοῦ τόκο
Ἁγνή, μυστήριον τὸ μέγα· ὅλον ἐν σοὶ τὸ πῦ
γὰρ τῆς Θεότητος, ᾤκησεν ἀφλέκτως· ὅθεν σ
ὑμνοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

## Ὠδὴ θ'. Ὁ Εἱρμός

»Ἐξέστη ἐπὶ τούτῳ ὁ οὐρανός, καὶ τῆς γῆς κατε
»πλάγη τὰ πέρατα, ὅτι Θεός, ὤφθη τοῖς ἀνθρώ
»ποις σωματικῶς, καὶ ἡ γαστήρ σου γέγονεν, εὐ
»ρυχωροτέρα τῶν οὐρανῶν· διό σε Θεοτόκε, Ἀγγέ
»λων καὶ ἀνθρώπων, ταξιαρχίαι μεγαλύνουσι».

## Τροπάρια

Νυμφίε ὡραιότατε Ἰησοῦ, τὴν πτωχήν μου καρ
δίαν ἀγάπησον, καὶ σεαυτῷ, οἶκον κατασκευά
σον φωτεινόν, σὺν τῷ Πατρί σου ἔλθετε, καὶ τῷ
θείῳ Πνεύματι καὶ μονήν, ποιήσατε ἁγίαν, Ἀγγέλοι
θυμηδίαν, καὶ πᾶσι δαίμοσιν ἀπρόσιτον.

Οὐκ οἴδαμεν ἐκτός σου ἄλλον Θεόν, τὰς δὲ χεῖρα
ἡμῶν πρὸς ἀλλότριον, θεὸν ποτέ, οὐ διεπετάσα
μεν δουλικῶς, ἀλλ' εἰ καὶ ἁμαρτάνομεν, πρὸς Σ
ἐπιστρέφομεν εὐλαβῶς· οἰκτείρησον καὶ σῶσο
Τριὰς Ὑπεραγία, τοὺς σοὺς οἰκέτας ὡς φιλάνθρωπος.

Συνάχθητε χορεῖαι τῶν Μοναχῶν, Ἱερεῖς κα
Λευῖται ἀθροίσθητε, μετὰ πιστῶν, καὶ Ἱεροψάλ
ται μελῳδικῶς, ὑμνοῦντες προσκυνήσωμεν, τὸ

Δημιουργὸν ἡμῶν καὶ Θεόν, Πατέρα, Λόγον, Πνεῦμα, αἰτοῦντες ἡμῖν δοῦναι, καὶ Βασιλείαν τὴν οὐράνιον.

**Δόξα.**

Ὢ χάριτος μεγάλης καὶ δωρεᾶς, ἧς ἀνθρώπων τὸ γένος ἠξίωται, ἐν τῷ Χριστῷ! σῶμα γὰρ τὸ γήϊνον θεωθέν, εἰς οὐρανοὺς ἀνύψωται, καὶ θρόνῳ συγκάθηται Πατρικῷ. Ὢ δόξης ἀνεκφράστου, καὶ θείας χαρμοσύνης! ἧς ὁ Θεὸς ἡμᾶς ἀξίωσον.

**Καὶ νῦν.**

Ἀνύμφευτε Παρθένε ἡ τὸν Θεοῦ, Θεὸν Λόγον ἀφράστως κυήσασα, σοῖς ὑμνηταῖς, Ἄφεσιν πταισμάτων τὸν σὸν Υἱόν, Νέμειν αὐτοῖς ἱκέτευε· Ἅπαντα γὰρ δύνασαι ἀληθῶς. Συνέτισον οὖν πάντας· Ἰδοὺ γὰρ μετ' ὀλίγον, Ὁ χρόνος φέρει τὴν Συντέλειαν.

## ΜΕΓΑΛΥΝΑΡΙΑ

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, τὴν ὑπέρθεον ὑμνεῖν Τριάδα, τὴν πανυπερένδοξον καὶ ὑπερύμνητον, τὸν φιλάνθρωπον Θεὸν ἡμῶν.

Πατέρα τὸν ἄναρχον καὶ Θεόν, συνάναρχον Λόγον, καὶ τὸ Πνεῦμα τὸ ἀγαθόν, ἀχώριστον μίαν καὶ ἄναρχον οὐσίαν, τρισάριθμον Μονάδα, ὕμνοις τιμήσωμεν.

Ὑμνήσωμεν πάντες θεοπρεπῶς, ᾄσμασιν ἐνθέοις, τὸν Πατέρα καὶ τὸν Υἱόν, καὶ Πνεῦμα τὸ Θεῖον, τρισυπόστατον κράτος, τὴν μίαν βασιλείαν καὶ κυριότητα.



Τὰς ἀκτινοβόλους σου ἀστραπάς, λάμψον μοι Θεέ μου, Τρισυπόστατε Παντουργέ, καὶ οἶκον με δεῖξον, Σῆς ἀπροσίτου δόξης, φαιδρὸν καὶ φωτοφόρον καὶ ἀναλλοίωτον.

Τρεῖς ταῖς ὑποστάσεσιν ἡ Μονάς, μία τῇ Οὐσίᾳ τῆς Θεότητος ἡ Τριάς, ὁ Πατήρ, ὁ Λόγος καὶ τὸ Ἅγιον Πνεῦμα, Θεότης τρισαγία, Μονὰς τρισήλιος.

Πάντων πρὸ αἰώνων μετὰ Πατρός, ὁ Λόγος ὑπῆρχε, χθὲς καὶ σήμερον ὁ αὐτός, καὶ εἰς τοὺς αἰῶνας, Θεάνθρωπος δ' ἐσχάτως, καὶ ὢν καὶ διαμένων ὡς ἀναλλοίωτος.

Εἴδομεν τὸ φῶς τὸ ἀληθινόν, ἐλάβομεν Πνεῦμα, ἐκ Πατρὸς διὰ τοῦ Υἱοῦ, φωτίζον καρδίας, τῶν πίστει προσκυνούντων, Τριάδα Παναγίαν τὴν ἀδιαίρετον.

Ἵλεως γενοῦ μοι Τριὰς σεπτή, τῷ ἐν ἁμαρτίαις ἀχρειώσαντι τὴν ψυχήν, καὶ δικαίᾳ κρίσει τῷ σώματι νοσοῦντι· ἀλλὰ μὴ μὲ στερήσῃς τῆς Βασιλείας Σου.

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ Ἅγιοι Πάντες, μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τὸ σωθῆναι ἡμᾶς.

Τὸ τρισάγιον. Παναγία Τριάς. Πάτερ ἡμῶν. Ὅτι σοῦ ἐστιν...

Εἶτα τὰ τροπάρια ταῦτα.

Ἦχος πλ. β'.

Ἐλέησον ἡμᾶς, Κύριε ἐλέησον ἡμᾶς· πάσης γάρ ἀπολογίας ἀποροῦντες, ταύτην σοι τὴν ἱκεσίαν ὡς Δεσπότῃ, οἱ ἁμαρτωλοί προσφέρομεν· ἐλέησον ἡμᾶς.

Δόξα.

Κύριε ἐλέησον ἡμᾶς· ἐπὶ σοὶ γὰρ πεποίθαμεν. Μὴ ὀργισθῇς ἡμῖν σφόδρα, μηδὲ μνησθῇς τῶν ἀνομιῶν ἡμῶν, ἀλλ' ἐπίβλεψον καὶ νῦν ὡς εὔσπλαγχνος καὶ λύτρωσαι ἡμᾶς ἐκ τῶν ἐχθρῶν ἡμῶν· Σὺ γὰρ εἶ Θεὸς ἡμῶν, καὶ ἡμεῖς λαὸς σου, πάντες ἔργα χειρῶν σου, καὶ τὸ ὄνομά σου ἐπικεκλήμεθα.

Καὶ νῦν. Θεοτοκίον.

Τῆς εὐσπλαγχνίας τὴν πύλην ἄνοιξον ἡμῖν εὐλογημένη Θεοτόκε· ἐλπίζοντες εἰς σὲ μὴ ἀστοχήσωμεν· ρυσθείημεν διὰ σοῦ τῶν περιστάσεων· Σὺ γὰρ εἶ, ἡ σωτηρία τοῦ γένους τῶν Χριστιανῶν.

Τό, Κύριε ἐλέησον μ' (40) καὶ ἀπόλυσις.

Τροπάρια μετὰ τὴν ἀπόλυσιν.



Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου σε νεκρόν.

Δεῦτε προσκυνήσωμεν πιστοί, πόθῳ τὴν Ἁγίαν Τριάδα, Πατέρα Ἄναρχον, καὶ Υἱὸν συνάναρχον, καὶ Πνεῦμα Ἅγιον, ἐκβοῶντες καὶ λέγοντες· Θεὲ πανοικτίρμον, πρόσδεξαι τὴν δέησιν ἡμῶν τῶν δούλων σου, ὅτι Σοὶ λατρεύομεν μόνῳ,καὶ Σὲ δυσωποῦμεν· ἀξίους, ποίησον ἡμᾶς τῆς Βασιλείας σου.

Ἕτερον ὅμοιον.

Δέσποτα Χριστὲ Παμβασιλεῦ, ἔφθασε καιρὸς ὃν προεῖπας, ἐπιστηρίζων ἡμᾶς, «γίνεσθε οὖν ἕτοιμοι» ὅτι πολλοὶ πειρασμοί, τοῖς ἐν γῇ ἐπελεύσονται· διό σοι βοῶμεν· ἡ ἡμέρα κέκλικε καὶ πρὸς ἑσπέραν ἐστί, μεῖνον μεθ' ἡμῶν Εὐεργέτα, σὺν Πατρὶ καὶ Πνεύματι Θείῳ, πάντων δυσχερῶν ἡμᾶς ρυόμενος.

Τὸν Πατέρα δοξάσωμεν, τὸν Υἱὸν προσκυνήσωμεν πάντες καὶ τὸ Ἅγιον Πνεῦμα, πιστῶς ἀνυμνήσωμεν

Ἡ ἐλπίς μου ὁ Πατήρ, καταφυγή μου ὁ Υἱός, σκέπη μου τὸ ἅγιον Πνεῦμα, Τριὰς Ἁγία δόξα σοι.

Τῇ πρεσβείᾳ Κύριε, πάντων τῶν Ἁγίων καὶ τῆς Θεοτόκου, τὴν σὴν εἰρήνην δὸς ἡμῖν, καὶ ἐλέησον ἡμᾶς, ὡς μόνος Οἰκτίρμων.

**Δι' εὐχῶν τῶν ἁγίων Πατέρων ἡμῶν Κύριε Ἰησοῦ Χριστέ ὁ Θεός ἡμῶν, ἐλέησον καί σῶσον ἡμᾶς. Ἀμήν.**

## «Σὲ ὑμνοῦμεν, Σὲ εὐλογοῦμεν, Σοὶ εὐχαριστοῦμεν Κύριε, Καὶ δεόμεθά σου, ὁ Θεὸς ἡμῶν»

ΠΡΟΣΕΥΧΗ

λεγομένη μυστικῶς ὑπὸ παντὸς βουλομένου, καθ' ἣν ὥραν ὑπὸ τῶν Ἱεροψαλτῶν ψάλλεται ὁ ἀνωτέρω ὕμνος.

ΣΕ ΥΜΝΟΥΜΕΝ

τὸν ὑπερύμνητον Θεὸν ἡμῶν, Ὃν ὑμνεῖ πᾶσα κτίσις ἡ ὑπὸ Σοῦ λόγῳ μόνῳ ποιηθεῖσα.

ΣΕ ΕΥΛΟΓΟΥΜΕΝ

τὸν μόνον εὐλογητὸν τῶν Πατέρων, Ὃν εὐλογοῦσι πάντες οἱ Ἄγγελοί Σου, τὰ πνεύματα τῶν Δικαίων ἐν οὐρανῷ καὶ οἱ ἅγιοι Σου ἐπὶ τῆς γῆς.

ΣΟΙ ΕΥΧΑΡΙΣΤΟΥΜΕΝ ΚΥΡΙΕ

διὰ πάντα ὅσα ἐποίησας, ὅσα ποιεῖς καὶ ὅσα ἂν ποιήσῃς μεθ' ἡμῶν, εἴτε εὐχάριστα εἴτε δυσάρεστα, εἴτε χαρμόσυνα εἴτε λυπηρά, ὅτι ἀγαπῶν ἡμᾶς ἐνεργεῖς ἐν ἡμῖν τὰ Σοὶ εὐάρεστα καὶ ἡμῖν ὠφέλιμα.

ΚΑΙ ΔΕΟΜΕΘΑ ΣΟΥ Ο ΘΕΟΣ ΗΜΩΝ

γενέσθω, Κύριε, τὸ ἔλεός σου εἰς ἡμᾶς ὡς θέλεις, ὡς οἶδας, ὡς βούλεσαι. Ἔτι καὶ ἔτι μακροθύμησον ἐπὶ τὰς πολλὰς καὶ ἐν γνώσει ἁμαρτίας ἡμῶν· συγχώρησον ἡμῖν πάντα καὶ ἀξίωσον ἡμᾶς ποιεῖν πάντοτε καὶ ἐν πᾶσι τὸ θέλημά σου. Βοήθησον, Κύριε τ. δούλ. ... σου τόν, τὴν Σύζυγον, τὸν υἱόν, τὴν θυγατέρα, τὸν φίλον, τὸν ἐχθρὸν, τὸν ἀσθενῆ...

ΕΙΣ ΤΗΝ ΘΕΙΑΝ ΛΕΙΤΟΥΡΓΙΑΝ τῶν ὀρθοδόξων χριστιανῶν

Μετά τήν ὁμολογίαν τῆς πίστεως (Πιστεύω εἰς ἕνα Θεόν...) καί τὸν Ἐπινίκιον ὕμνον (Ἅγιος, Ἅγιος, Ἅγιος Κύριος Σαβαώθ κ.τ.λ.) προσφωνεῖ ὁ Ἱερεύς: «Τὰ σὰ ἐκ τῶν σῶν, Σοὶ προσφέρομεν, κατὰ πάντα καὶ διὰ πάντα». Ἔξωθεν οἱ Ἱεροψάλται ψάλλουσι: «Σὲ ὑμνοῦμεν, Σὲ εὐλογοῦμεν, Σοὶ εὐχαριστοῦμεν Κύριε, καὶ δεόμεθά Σου, ὁ Θεὸς ἡμῶν».



Ψαλλομένου δὲ τοῦ ὕμνου τούτου ὑπὸ τῶν Ἱεροψαλτῶν ὁ Ἱερεὺς ἔσωθεν ἐκτελεῖ ἔργον ἱερώτατον, θεῖκὸν καὶ θαυμασιώτατον. Διότι, εὑρισκομένου ἐπὶ τῆς ἁγίας Τραπέζης τοῦ ἱεροῦ Δισκαρίου μὲ τὸν διὰ πολλῶν Εὐχῶν ἡτοιμασμένον ἄρτον, καθὼς καὶ τοῦ ἁγίου Ποτηρίου μὲ τὸν ἐπίσης διὰ πολλῶν Εὐχῶν ἡτοιμασμένον οἶνον, ἐπικαλεῖται ὁ Ἱερεὺς τὴν χάριν τοῦ Παναγίου Πνεύματος ἐπὶ τῶν προκειμένων Δώρων, καὶ τότε κατέρχεται τὸ Πανάγιον Πνεῦμα καὶ μεταβάλλει τὸν ἄρτον εἰς Σῶμα Χριστοῦ καὶ τὸν οἶνον εἰς Αἷμα Χριστοῦ...

Κατὰ ταύτας τὰς φοβερὰς στιγμάς, ὡς φρονῶ, δύναται πᾶς πιστὸς εὑρισκόμενος μέσα εἰς αὐτὸν τὸν ναὸν νὰ προσευχηθῇ μυστικῶς καὶ νὰ ζητήσῃ ἀπὸ τὸν Θεὸν ὅ,τι ἐπιθυμεῖ ψυχωφελὲς καὶ ψυχοσωτήριον, κατὰ τὸν ἀνωτέρω τύπον προσευχῆς.

**Σημ.** Τ' ἀνωτέρω ἠλέγχθησαν καὶ ἐνεκρίθησαν ὑπὸ τοῦ πανοσιολογιωτάτου Ἀρχιμανδρίτου Μαξίμου Λαυριώτου, εἰς CAMBRIDGE.